# ΒΑΣΙΛΕΙΩΝ Β'

[1]Καὶ ἐγένετο μετὰ τὸ ἀποθανεῖν Σαουλ καὶ Δαυιδ ἀνέστρεψεν 1
τύπτων τὸν Αμαληκ, καὶ ἐκάθισεν Δαυιδ ἐν Σεκελακ ἡμέρας δύο.
[2]καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ ἰδοὺ ἀνὴρ ἦλθεν ἐκ τῆς παρ- 2
εμβολῆς ἐκ τοῦ λαοῦ Σαουλ, καὶ τὰ ἱμάτια αὐτοῦ διερρωγότα, καὶ
γῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ ἐγένετο ἐν τῷ εἰσελθεῖν αὐτὸν
πρὸς Δαυιδ καὶ ἔπεσεν ἐπὶ τὴν γῆν καὶ προσεκύνησεν αὐτῷ. [3]καὶ 3
εἶπεν αὐτῷ Δαυιδ Πόθεν σὺ παραγίνῃ; καὶ εἶπεν πρὸς αὐτόν Ἐκ
τῆς παρεμβολῆς Ισραηλ ἐγὼ διασέσῳσμαι. [4]καὶ εἶπεν αὐτῷ Δαυιδ 4
Τίς ὁ λόγος οὗτος; ἀπάγγειλόν μοι. καὶ εἶπεν ὅτι Ἔφυγεν ὁ λαὸς
ἐκ τοῦ πολέμου, καὶ πεπτώκασι πολλοὶ ἐκ τοῦ λαοῦ καὶ ἀπέθανον·
καὶ ἀπέθανεν καὶ Σαουλ, καὶ Ιωναθαν ὁ υἱὸς αὐτοῦ ἀπέθανεν.
[5]καὶ εἶπεν Δαυιδ τῷ παιδαρίῳ τῷ ἀπαγγέλλοντι αὐτῷ Πῶς οἶδας 5
ὅτι τέθνηκεν Σαουλ καὶ Ιωναθαν ὁ υἱὸς αὐτοῦ; [6]καὶ εἶπεν τὸ 6
παιδάριον τὸ ἀπαγγέλλον αὐτῷ Περιπτώματι περιέπεσον ἐν τῷ
ὄρει τῷ Γελβουε, καὶ ἰδοὺ Σαουλ ἐπεστήρικτο ἐπὶ τὸ δόρυ αὐτοῦ,
καὶ ἰδοὺ τὰ ἅρματα καὶ οἱ ἱππάρχαι συνῆψαν αὐτῷ. [7]καὶ ἐπέβλε- 7
ψεν ἐπὶ τὰ ὀπίσω αὐτοῦ καὶ εἶδέν με καὶ ἐκάλεσέν με, καὶ εἶπα
Ἰδοὺ ἐγώ. [8]καὶ εἶπέν μοι Τίς εἶ σύ; καὶ εἶπα Αμαληκίτης ἐγώ 8
εἰμι. [9]καὶ εἶπεν πρός με Στῆθι δὴ ἐπάνω μου καὶ θανάτωσόν με, 9
ὅτι κατέσχεν με σκότος δεινόν, ὅτι πᾶσα ἡ ψυχή μου ἐν ἐμοί.
[10]καὶ ἐπέστην ἐπ' αὐτὸν καὶ ἐθανάτωσα αὐτόν, ὅτι ᾔδειν ὅτι οὐ 10
ζήσεται μετὰ τὸ πεσεῖν αὐτόν· καὶ ἔλαβον τὸ βασίλειον τὸ ἐπὶ
τὴν κεφαλὴν αὐτοῦ καὶ τὸν χλιδῶνα τὸν ἐπὶ τοῦ βραχίονος αὐτοῦ
καὶ ἐνήνοχα αὐτὰ τῷ κυρίῳ μου ὧδε. [11]καὶ ἐκράτησεν Δαυιδ τῶν 11
ἱματίων αὐτοῦ καὶ διέρρηξεν αὐτά, καὶ πάντες οἱ ἄνδρες οἱ μετ'
αὐτοῦ διέρρηξαν τὰ ἱμάτια αὐτῶν. [12]καὶ ἐκόψαντο καὶ ἔκλαυσαν 12
καὶ ἐνήστευσαν ἕως δείλης ἐπὶ Σαουλ καὶ ἐπὶ Ιωναθαν τὸν υἱὸν
αὐτοῦ καὶ ἐπὶ τὸν λαὸν Ιουδα καὶ ἐπὶ τὸν οἶκον Ισραηλ, ὅτι ἐπλή-
γησαν ἐν ῥομφαίᾳ. [13]καὶ εἶπεν Δαυιδ τῷ παιδαρίῳ τῷ ἀπαγγέλλοντι 13
αὐτῷ Πόθεν εἶ σύ; καὶ εἶπεν Υἱὸς ἀνδρὸς παροίκου Αμαληκίτου

Regn. II: B*OL*, cf. Regn. I.

1 1 σεκελακ: cf. I 27 6 || 2 τη $1^0$] pr. εν *OL*† | ηλθεν > A† | διερρηγοτα A† | επι ult.] pr. επι προσωπον (αυτου) *OL*† || 3 παρεγενου *L*†, παραγινου A† | εγω > *O*-A*L*† || 4 απαγγ.] αναγγ. *O*, + δη MV† | οτι — και $3^0$ > A† | πεπτωκ. πολλοι] tr. *O*† | και απεθανον > *OL*† | και απεθανεν B*O*†] > rel. | και paenult. > *O*† | απεθανεν ult.] -νον M, > *O*-A†, τεθνηκασιν *L*† || 5 τω $1^0$ ⌒ $2^0$ A† || 6 περιεπεσον *L*] -σαν BA, περιπεπτωκεν *O*-A† | ιππαρχαι] -χοι *OL* || 7 init.] pr. και επεσεν *O*† | με $1^0$ > B || 8 μοι > *O*V† | ειπα] + προς αυτον *OL*† || 9 θανατωσεις A† || 11 των ιματιων] τα -τια A† | διερρηξαν — fin. > *OL*† || 12 εκλαυσαν .. ενηστ.] tr. B